# ΙΩΑΝΝΟΥ Γ

1 Ὁ πρεσβύτερος Γαΐῳ τῷ ἀγαπητῷ, ὃν ἐγὼ ἀγαπῶ ἐν
ἀληθείᾳ.
2 Ἀγαπητέ, περὶ πάντων εὔχομαί σε εὐοδοῦσθαι καὶ
ὑγιαίνειν, καθὼς εὐοδοῦταί σου ἡ ψυχή.
3 ἐχάρην γὰρ λίαν ἐρχομένων ἀδελφῶν καὶ
μαρτυρούντων σου τῇ ἀληθείᾳ, καθὼς σὺ ἐν ἀληθείᾳ
περιπατεῖς.
4 μειζοτέραν τούτων οὐκ ἔχω ⸀χαράν* ἵνα ἀκούω τὰ ἐμὰ
τέκνα ἐν ⸀τῇ† ἀληθείᾳ περιπατοῦντα.
5 Ἀγαπητέ, πιστὸν ποιεῖς ὃ ἐὰν ἐργάσῃ εἰς τοὺς
ἀδελφοὺς καὶ ⸀τοῦτο‡ ξένους,
6 οἳ ἐμαρτύρησάν σου τῇ ἀγάπῃ ἐνώπιον ἐκκλησίας, οὓς
καλῶς ποιήσεις προπέμψας ἀξίως τοῦ θεοῦ·
7 ὑπὲρ γὰρ τοῦ ὀνόματος ἐξῆλθον μηδὲν λαμβάνοντες
ἀπὸ τῶν ⸀ἐθνικῶν§
8 ἡμεῖς οὖν ὀφείλομεν ⸀ὑπολαμβάνειν* τοὺς τοιούτους,
ἵνα συνεργοὶ γινώμεθα τῇ ἀληθείᾳ.
9 Ἔγραψά ⸀τι† τῇ ἐκκλησίᾳ· ἀλλ᾽ ὁ φιλοπρωτεύων
αὐτῶν Διοτρέφης οὐκ ἐπιδέχεται ἡμᾶς.
10 διὰ τοῦτο, ἐὰν ἔλθω, ὑπομνήσω αὐτοῦ τὰ ἔργα ἃ
ποιεῖ, λόγοις πονηροῖς φλυαρῶν ἡμᾶς, καὶ μὴ ἀρκούμενος
ἐπὶ τούτοις οὔτε αὐτὸς ἐπιδέχεται τοὺς ἀδελφοὺς καὶ τοὺς
βουλομένους κωλύει καὶ ἐκ τῆς ἐκκλησίας ἐκβάλλει.

---

* **1:4** χαράν Treg NA28 RP ] χάριν WH † **1:4** τῇ WH Treg NA27 ] – NA28 RP ‡ **1:5** τοῦτο WH Treg NA28 ] εἰς τοὺς RP § **1:7** ἐθνικῶν WH Treg NA28 ] ἐθνῶν RP * **1:8** ὑπολαμβάνειν WH Treg NA28 ] ἀπολαμβάνειν RP † **1:9** τι WH Treg NA28 ] – RP

11 Ἀγαπητέ, μὴ μιμοῦ τὸ κακὸν ἀλλὰ τὸ ἀγαθόν. ὁ
ἀγαθοποιῶν ἐκ τοῦ θεοῦ ἐστιν· ὁ κακοποιῶν οὐχ ἑώρακεν
τὸν θεόν.
12 Δημητρίῳ μεμαρτύρηται ὑπὸ πάντων καὶ ὑπὸ αὐτῆς
τῆς ἀληθείας· καὶ ἡμεῖς δὲ μαρτυροῦμεν, καὶ ⸀οἶδας‡ὅτι ἡ
μαρτυρία ἡμῶν ἀληθής ἐστιν.
13 Πολλὰ εἶχον ⸂γράψαι σοι§, ἀλλ᾽ οὐ θέλω διὰ μέλανος
καὶ καλάμου σοι ⸀γράφειν*
14 ἐλπίζω δὲ εὐθέως ⸂σε ἰδεῖν†, καὶ στόμα πρὸς στόμα
λαλήσομεν.
15 Εἰρήνη σοι. ἀσπάζονταί σε οἱ φίλοι. ἀσπάζου τοὺς
φίλους κατ᾽ ὄνομα. ‘p /’ ‘/book’

‡ **1:12** οἶδας WH Treg NA28 ] οἴδατε RP § **1:13** γράψαι σοι WH Treg NA28 ] γράφειν RP * **1:13** γράφειν WH Treg NA28 ] γράψαι RP † **1:14** σε ἰδεῖν WH Treg NA28 ] ἰδεῖν σε RP

# Η Καινή Διαθήκη
# The Greek New Testament: SBL Edition

copyright © 2010 Society of Biblical Literature and Logos Bible Software

Language: Ελληνικά (Greek, Ancient)

Dialect: Ancient

Updated to source dated 2023-07-10 from https://github.com/LogosBible/SBLGNT

This translation is made available to you under the terms of the Creative Commons Attribution license 4.0.
You may share and redistribute this Bible translation or extracts from it in any format, provided that:

- You include the above copyright and source information.
- If you make any changes to the text, you must indicate that you did so in a way that makes it clear that the original licensor is not necessarily endorsing your changes.

Pictures included with Scriptures and other documents on this site are licensed just for use with those Scriptures and documents. For other uses, please contact the respective copyright owners.
Note that in addition to the rules above, revising and adapting God's Word involves a great responsibility to be true to God's Word. See Revelation 22:18-19.

2025-04-18

---

PDF generated using Haiola and XeLaTeX on 18 Apr 2025 from source files dated 18 Apr 2025
481db0ad-89b5-5f26-acd4-a04def98bd07